σοφῷ' κατὰ τὸ⟨ν Αἰσχύλον⟩ (Suppl. 770), ἀλλὰ καὶ
πότου πᾶσα καὶ ἀνέ⟨σεως ὥρα στρατη⟩γῷ καὶ ἄρχοντι
φροντίδος ἄξιόν ἐστιν. ἵνα ⟨τοίνυν⟩ ἀκοῦσαί θ' ἃ δεῖ καὶ
προστάξαι καὶ ὑπογράψαι δύνηται, τοῦτον ἐξαίρετον ἔχει
τὸν τόπον· ἐν ᾧ τῆς δευτέρας κλίνης τῇ τρίτῃ συναπτούσης,
ἡ γωνία διάλειμμα ποιοῦσα τῇ καμπῇ δίδωσιν καὶ γραμ-
ματεῖ καὶ ὑπηρέτῃ καὶ φύλακι σώματος καὶ ἀγγέλῳ τῶν F
ἀπὸ στρατοπέδου προσελθεῖν διαλεχθῆναι πυθέσθαι, μήτε
τινὸς ἐνοχλοῦντος αὐτῷ μήτε τινὸς ἐνοχλουμένου τῶν
συμποτῶν, ἀλλὰ καὶ χεῖρα καὶ φωνὴν ὑπερδέξιον ἔχοντι
καὶ ἀκώλυτον. |

## ΠΡΟΒΛΗΜΑ Δ 620

*Ποῖόν τινα δεῖ τὸν συμποσίαρχον εἶναι*

Colloquuntur Plutarchus, Crato, Theo

**1.** Κράτων ὁ γαμβρὸς ἡμῶν καὶ Θέων ὁ ἑταῖρος ἔν τινι
πότῳ παροινίας ἀρχὴν λαβούσης εἶτα παυσαμένης λόγον
ἐποιήσαντο περὶ τῆς συμποσιαρχίας, οἰόμενοί με δεῖν
στεφανηφοροῦντα μὴ περιιδεῖν . . . ἔθος ἐκλειφθὲν παντά-
πασιν, ἀλλ' ἀνακαλεῖν καὶ καταστῆσαι πάλιν τῆς ἀρχῆς
τὴν νενομισμένην ἐπιστασίαν περὶ τὰ συμπόσια καὶ δια-
κόσμησιν. ἐδόκει δὲ ταῦτα καὶ τοῖς ἄλλοις, ὥστε θόρυβον
ἐκ πάντων καὶ παράκλησιν γενέσθαι. 'ἐπεὶ τοίνυν' ἔφην B
ἐγώ 'δοκεῖ ταῦτα πᾶσιν, ἐμαυτὸν αἱροῦμαι συμποσίαρχον
ὑμῶν καὶ κελεύω τοὺς μὲν ἄλλους ὡς βούλονται πίνειν ἐν
τῷ παρόντι, Κράτωνα δὲ καὶ Θέωνα, τοὺς εἰσηγητὰς καὶ
νομοθέτας τοῦ δόγματος, ἔν τινι τύπῳ βραχέως διελθεῖν,
ὁποῖον ὄντα δεῖ τὸν συμποσίαρχον αἱρεῖσθαι καὶ τί ποιού-
μενος τέλος ὁ αἱρεθεὶς ἄρξει καὶ πῶς χρήσεται τοῖς κατὰ